Ακαδημία Αθηνών / Academy of Athens

tomb/grave, Φιλόλαος 14 διά τινας τιμωρίας ά ψυχὰ τῷ σώματι συνέζευκται καὶ καθάπερ ἐν σ ά μ α τ ι τούτῳ τέθαπται.

**σημαίνειν 1.** Σημαίνω/ὑποδηλώνω, signify/designate, Ἡράκλειτος 93 ὁ ἄναξ, οὗ τὸ μαντεῖόν ἐστι τὸ ἐν Δελφοῖς, οὔτε λέγει οὔτε κρύπτει ἀλλὰ σ η μ α ί ν ε ι 2. Ἐμφαίνω, demonstrate, Φιλόλαος 5 ἑκατέρω δὲ τῶ εἴδεος πολλαὶ μορφαί, ἃς ἕκαστον αὐταυτὸ σ η μ α ί ν ε ι 3. Σημαίνω, mean/indicate, Δημόκριτος 212 ἡμερήσιοι ὕπνοι σώματος ὄχλησιν ἢ ψυχῆς ἀδημοσύνην ἢ ἀργίην ἢ ἀπαιδευσίην σ η μ α ί ν ο υ σ ι.

**σημεῖον.** Ἀπόδειξη/τεκμήριο, proof/evidence, Μέλισσος 8 (1) μέγιστον μὲν οὖν σ η μ ε ῖ ο ν οὗτος ὁ λόγος, ὅτι ἓν μόνον ἔστιν· ἀτὰρ καὶ τάδε σ η μ ε ῖ α Διογένης 4.1 ἔτι δὲ πρὸς τούτοις καὶ τάδε μεγάλα σ η μ ε ῖ α. ἄνθρωποι γὰρ καὶ τὰ ἄλλα ζῷα ἀναπνέοντα ζώει τῷ ἀέρι. || Ἀρχύτας 1.39 ἀλλὰ μὰν καὶ τούτῳ γά κα ἴδοιμες ἰσχυροτάτῳ σ α μ ε ί ῳ, ὅτι τῶ αὐτῶ φθεγξαμένω μέγα μὲν πόρσωθέν κ' ἀκούσαιμες· μικρὸν δέ, οὐδ' ἐγγύθεν. Πρβλ. σῆμα, σύμβολον.

**σηπεδών** (συνών. σῆψις, πέψις). Σήψη/ζύμωση, rotting/fermentation, Ἐμπεδοκλῆς Α 76 (DK I 298,30) ἐπειδὰν τὸ θερμὸν καὶ ψυχρὸν σ η π ε δ ό ν α τινὰ λάβῃ.

**σήπεσθαι.** Σαπίζω/παθαίνω ζύμωση, rot/be fermented, Ἐμπεδοκλῆς 81 οἶνος ἀπὸ φλοιοῦ πέλεται σ α π ὲ ν ἐν ξύλῳ ὕδωρ. Πρβλ. σῆψις, ἄσηπτος, σηπεδών.

**σῆψις 1.** Σήψη/πέψη, rotting/digestion, Ἐμπεδοκλῆς Α 77 (DK I 299,2) πῶς Ἱπποκράτης καὶ Ἐρασίστρατος καὶ Ἐ. καὶ Ἀσκληπιάδης τὰς πέψεις τῆς τροφῆς φασι γίνεσθαι... Ἐ. δὲ σ ή ψ ε ι 2. Σήψη/ζύμωση, rotting/fermentation, Μενέστωρ 7 ὁποία γὰρ ἄν τις ἡ μίξις καὶ ἡ σ ῆ ψ ι ς γένηται τοῦ ὑγροῦ ἐμφύτου, τοιοῦτον εἶναι καὶ τὸν χυμὸν 3. Σήψη (προσωποπ.), Dissolution (personif.), Ἐμπεδοκλῆς 121.3 ἀτερπέα χῶρον, ἔνθα Φόνος τε Κότος τε καὶ ἄλλων ἔθνεα Κηρῶν αὐχμηραί τε Νόσοι

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*καὶ Σ ή ψ ι ε ς ἔργα τε ῥευστὰ Ἄτης ἀν λειμῶνα κατὰ σκότος ἠλάσκουσιν*. Πρβλ. *ἄσηπτος, σαπέν, σηπεδών*.

**σίδη.** Ρόδι, pomegranate, Ἐμπεδοκλῆς 80 *ὀψίγονοί τε σ ί δ α ι*.

**σίδηρος.** Σίδηρος, iron, Μέλισσος 8(2)-(3) *εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ καὶ σ ί δ η ρ ο ς καὶ χρυσὸς ... ἀλλ' ὅ τε σ ί δ η ρ ο ς σκληρὸς ἐὼν τῷ δακτύλῳ κατατρίβεσθαι ὁμουρέων, καὶ χρυσὸς καὶ λίθος καὶ ἄλλο ὅ τι ἰσχυρόν*.

**σκαληνός.** Ἀνώμαλος/μὴ κανονικός, uneven/not regular, Δημόκριτος Α 135 (DK II 118,18-19-23) ἀλλ' ἐπ' ἐνίων μὲν *σ κ α λ η ν ῶ ν*, ⟨ἐπὶ δὲ πλείστων *οὐ σ κ α λ η ν ῶ ν*⟩, διὸ οὐδὲ *πολυκαμπῶν* (βούλεται δὲ *σ κ α λ η ν ὰ* λέγειν ἅπερ *περιπάλαξιν* ἔχει πρὸς ἄλληλα καὶ συμπλοκήν) ... *οὐ σ κ α λ η ν ῶ ν* δὲ διὰ τὸ μὴ *περιπαλάττεσθαι*.

**σκέλος.** Σκέλος, leg, Ξενοφάνης 6.1 *πέμψας γὰρ κωλῆν ἐρίφου σ κ έ λ ο ς ἤραο πῖον* Διογένης 6.4-17 *τείνουσι* (sc. *φλέβες*) *διὰ τῆς κοιλίας παρὰ τὴν νωτιαίαν ἄκανθαν, ἡ μὲν ἐπὶ δεξιά, ἡ δ' ἐπ' ἀριστερά, εἰς τὰ σ κ έ λ η ἑκατέρα τὰ παρ' ἑαυτῇ καὶ ἄνω εἰς τὴν κεφαλὴν παρὰ τὰς κλεῖδας διὰ τῶν σφαγῶν ... αἱ δὲ εἰς τὰ σ κ έ λ η τείνουσαι σχίζονται κατὰ τὴν πρόσφυσιν, καὶ διὰ παντὸς τοῦ μηροῦ τείνουσιν*.

**σκέπτεσθαι.** Σκέπτομαι, think, Ἀρχύτας 1.11 *πρᾶτον μὲν οὖν ἐ σ κ έ ψ α ν τ ο, ὅτι οὐ δυνατὸν ἐστιν ἦμεν ψόφον μὴ γενηθείσας πληγᾶς τινων ποτ' ἄλλαλα*.

**σκεῦος.** Σκεῦος, vessel, Δημόκριτος 159.7 *ὥσπερ ὀργάνου τινὸς ἢ σ κ ε ύ ο υ ς κακῶς ἔχοντος τὸν χρώμενον ἀφειδῶς αἰτιασάμενος*. Πρβλ. *ὄργανον*.

**σκῆνος.** Σῶμα, body, Δημόκριτος 37 *ὁ τὰ ψυχῆς ἀγαθὰ αἱρεόμενος τὰ θειότερα αἱρέεται· ὁ δὲ τὰ σ κ ή ν ε ο ς τὰ ἀνθρωπήϊα*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ